# 0345-0407 - Iohannes Chrysostomus - In sanctum pascha [3]

**This text belongs to the Thesaurus Linguae Graecae (TLG®), a Research Center at the University of California, Irvine, which digitized it and owns the relevant ©Copyright.
On May 15, 2008, Prof. M. Pantelia, the Director of the Center, has expressly authorized www.documentacatholicaomnia.eu to post it into our site.
Cooperatorum Veritatis Societas thanks the prof. Pantelia, the Center, and the University of California, Irvine, of having granted the opportunity to make publicly available this text of high quality,
serial number '2062 264 '.**

Charset and format of the text have been changed in order to make it possible the computation of analytic indexes and concordances.
Analytical indexes and concordances have been made by the Cooperatorum Veritatis Societas.

In sanctum pascha

[00001] Τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου ἀρχιεπισκόπου Κωνσταντινουπόλεως τοῦ Χρυσοστόμου λόγος εἰς τὸ ἅγιον πάσχα

[00002] Νικᾷ καὶ μόνη ἡ ὄψις τῆς ἑορτῆς πᾶσαν ἐγκωμίων πλοκὴν καὶ πᾶς ἔπαινος τῇ ἀξίᾳ ἀπολιμπάνεται·

[00003] ὅσον γὰρ ἂν ὁ λόγος ἀναλάβοι ἀγῶνα καὶ ὅλον ἑαυτὸν κινήσει πρὸς τὰ ἐγκώμια, οὐδὲν εἰπεῖν πρὸς ἀξίαν δυνήσεται.

[00004] Ὥσπερ δὲ ὁ ἄπειρος ὑπάρχων θαλάσσης ὅταν ἀχανὲς καὶ μέγα θεάσηται πέλαγος πρὸ τῆς ἀρχῆς τῷ πλείστῳ φόβῳ νεκροῦται καὶ πρὸς μόνην τὴν ὄψιν ἐκλύεται καὶ ἀλλοιοῦται τῷ προσώπῳ ἐπιβῆναι καὶ νῶτα θαλάττης ἀσπάσασθαι, οὕτως καὶ ἡμεῖς θεωροῦντες τῆς θεότητος τὸ πέλαγος οὔτε ἅψασθαι τῶν ἐγκωμίων τολμῶμεν, ἵνα μὴ μικρὰ καὶ εὐτελῆ ἐξ ἀμαθίας φθεγξώμεθα.

[00005] Κρεῖσσον γάρ ἐστι σιωπῶντα τιμᾶν ἢ ὑβρίζειν φθεγγόμενον·

[00006] ἡ μὲν γὰρ σιωπὴ ἐπιγινώσκουσα τὴν οἰκείαν ἀμαθίαν ἀξιοῦται συγγνώμης, ἡ δὲ προπετὴς πραγματεία οὐδὲν ἄξιον τοῦ προκειμένου ἐρευγομένη καὶ ἀσύγγνωστός ἐστι καὶ ἑαυτὴν ἐστηλίτευσεν.

[00007] Ὅμως ἐπειδὴ ὁ θεὸς διὰ πλῆθος οἰκτιρμῶν καὶ τὴν περὶ ἡμᾶς εὐσπλαγχνίαν οὐ κατ' ἀξίαν ἐπιζητεῖ ἀλλὰ τὴν ἑκάστου πρόθεσιν ἀποδέχεται, λέγωμεν ὅσα δυνάμεθα.

[00008] Ἡ γὰρ ἑορτὴ τῆς θεϊκῆς ἐστι φιλανθρωπίας τεκμήριον καὶ βοᾷ πατρὸς καὶ υἱοῦ καὶ ἁγίου πνεύματος τὴν νοητὴν ἀγαθότητα·

[00009] δι' ἧς ὁ μονογενὴς τὸν κόσμον ἀπολλύμενον ἔσωσε καὶ τὸν ἐξορισθέντα ἀνεκαλέσατο ἄνθρωπον, δι' ἧς τὸν δουλωθέντα Ἀδὰμ ἠλευθέρωσεν, δι' ἧς τὴν κακῶς ἐκταθεῖσαν κατὰ τοῦ ξύλου δεξιὰν τῆς Εὔας ἰάσατο, δι' ἧς τὰς τοῦ ᾅδου πύλας ἀνέῳξε συντρίψας μοχλοὺς παραβάσεως καὶ δαιμόνων ἀμετάβλητον πατήσας ὠμότητα καὶ τοὺς πυλωροὺς καταπλήξας.

[00010] Ὡς γὰρ ἐθεάσαντο εἰς τὴν τοῦ ᾅδου φρουρὰν παραγενόμενον τὸν βασιλέα ἔπτηξαν ἰσχυρῶς·

[00011] αὐτὸς ὁ ᾅδης τῷ τρόμῳ ἐκλονεῖτο καὶ τοὺς κατοιχομένους κατήπειγε καὶ μετὰ σπουδῆς ἐβιάζετο.

[00012] Πᾶσαι αἱ μυριάδες τῶν ἐγκατακλείστων ἐκεκίνηντο καινότερον θέαμα θεάσασθαι ἐπειγόμεναι καὶ προσπίπτουσαι συμφώνως ἱκέτευον προβαλλόμεναι τὴν διαβολικὴν ὠμότητα καὶ ἀγριότητα αὐτοῦ καὶ ὁμοφώνως πρεσβεύουσαι προσέπιπτον.

[00013] Ὅθεν πᾶσαν τὴν αἰχμαλωσίαν ὁ βασιλεὺς ἀπέσωσε καὶ τὰ οἰκεῖα δεσποτικῶς ἐλευθεροῖ δημιουργήματα.

[00014] Αὐτὸς ὁ θάνατος κατῃσχύνετο κατέχειν τὸν ἐν νεκροῖς ἐλεύθερον μὴ δυνάμενος·

[00015] κατέπιε γὰρ τοὺς πολλοὺς καὶ τὸν σωτῆρα πέψαι μὴ δυνάμενος διεφθάρη.

[00016] Κατέπιεν ὡς ἄνθρωπον, ἐξέμεσε δὲ οὐχ ὡς ἄνθρωπον, πάντας γὰρ τῷ ἑνὶ συνεξέμεσεν.

[00017] Ἐθεάσατο γὰρ σῶμα ἐνδεδυμένον καὶ ἐνεπήδη σεν, ἔλαβε δὲ τὴν πεῖραν τῆς δυνάμεως καὶ φρίξας ἀπεπήδησεν.

[00018] Ἐν τάφῳ διὰ Ἰουδαίων κατέκλεισε καὶ νενικηκέναι τοῦτον ἐνόμισε καὶ ὑψοῦτο καὶ ἐκηρύσσετο·

[00019] ὡς δὲ εἶδε τὸν τάφον ἀνεῳγμένον καὶ τοῦ ἀποθανόντος, ὡς ἐνόμισε, σώματος τὴν ἀνάστασιν θεϊκὴν γενομένην καὶ τοῦ νεκρωθέντος τὴν ἀνίκητον δύναμιν, τὴν ἰσχὺν παρελύετο καὶ τὸ οἰκεῖον τέλος ὁ δείλαιος δεδοικὼς ἐβόα·

[00020] Οἴμοι, ὡς ἔοικεν, ἦλθεν ὁ ἐμὲ καταλύων καὶ τὴν ἐμὴν βασιλείαν πορθῶν.

[00021] Πολλοὶ ἦλθοσαν πρός με καὶ οὐδένα θεασάμενος ἐδειλίασα, πολλοὺς ἐθανάτωσα καὶ οὐδεὶς ἀντέσχε μοι.

[00022] Νῦν ὁ δυνατὸς οὐχ ὑφίσταμαι, ὁ ὑψηλὸς τεταπείνωμαι, ὁ κραταιὸς παραλέλυμαι, ὁ καυχώμενος ἐδαφίζομαι, ἀοράτως συνέχομαι, οὐ φέρω τοῦ παρόντος τὴν δύναμιν·

[00023] ὁ ὁρώμενος φοβερὸς εὐκαταφρόνητος πέλω, ὁ νοούμενος δυνατὸς παρὰ πᾶσι καταγέλαστος ὑπάρχω.

[00024] Οἴμοι, τί ποιήσω;

[00025] Πῶς ἠπατήθην.

[00026] Ἐτέχθη ὡς ἄνθρωπος, ἐπ' ἀγκαλῶν περιηνέχθη ὡς ἄνθρωπος, μαζοῖς ὑπεβλήθη ὡς ἄνθρωπος, ἐπείνασεν ὡς ἄνθρωπος, ἐδίψησεν ὡς

[00027] Επιτρέπετα

[00028] ἄνθρωπος, ἐμαστίχθη ὡς ἄνθρωπος, ἐνεπτύσθη ὡς ἄνθρωπος, ἐσταυρώθη ὡς ἄνθρωπος, ἐνεπαίχθη ὡς ἄνθρωπος, ὄξος ἐποτίσθη ὡς ἄνθρωπος, ἀπέθανεν ὡς ἄνθρωπος, ἐτάφη ὡς ἄνθρωπος, ἀνέστη ὡς θεὸς οὐχ ὡς ἄνθρωπος.

[00029] Πῶς εὑρέθη θεὸς αὐτέγερτος;

[00030] Ἔπαθε πολλὰ παρὰ πολλῶν καὶ οὐδένα τούτων ἠμύνατο, ἠτιμάσθη παρὰ τῶν δούλων καὶ οὐδένα τούτων ἐλυμήνατο.

[00031] Ἰουδαῖοι ἐβόων καὶ ἔλεγον·

[00032] Οὐχ οὗτός ἐστιν ὁ τοῦ τέκτονος υἱός, καὶ πάλιν·

[00033] Δαιμόνιον ἔχει καὶ μαίνεται, τί αὐτοῦ ἀκούετε, καὶ πάλιν·

[00034] Σαμαρείτης εἶ σὺ καὶ δαιμόνιον ἔχεις·

[00035] καί·

[00036] οὐδενὶ κακὸν ἀντὶ κακοῦ ἀπέδωκεν.

[00037] Ταῦτά μου τὴν ἀφροσύνην ἠπάτησεν, ταῦτά με τὸν ἄθλιον ἐχλεύασεν, διὰ τούτων ἠγκιστρεύθην, διὰ τούτων ἐδελεάσθην.

[00038] Πάντα ὑπομεῖναι διὰ τοῦ σώματος κατεδέξατο·

[00039] εἴ ποτε τῆς θεότητος ὑπέδειξε μέγεθος, ὀξέσι ποσὶν ἱπτάμενος ἀοράτως ὑπέστρεφον.

[00040] Συνεσκίαζε πολλάκις παθήμασι καὶ οὐκ ἔφερον αὐτοῦ τὴν ἀχώρητον δύναμιν·

[00041] ὅθεν πολλάκις θεασάμενος τῆς θεότητος τὰ τεκμήρια ἐβόων καὶ ἔλεγον διὰ τῶν ἑπομένων μοι πονηρῶν δαιμόνων·

[00042] Δέομαί σου μή με βασανίσῃς, καὶ πάλιν·

[00043] Τί ἡμῖν καὶ σοί, υἱὲ τοῦ θεοῦ;

[00044] ἦλθες πρὸ καιροῦ βασανίσαι ἡμᾶς.

[00045] Ἀλλ' ὡς ἤκουον βοῶντος·

[00046] Περίλυπός ἐστιν ἡ ψυχή μου ἕως θανάτου, καί·

[00047] νῦν ἡ ψυχή μου τετάρακται, ὡς ἐθεασάμην ἀγωνιῶντα καὶ πρὸς τὸν ἑαυτοῦ πατέρα βοῶντα·

[00048] Πάτερ, εἰ δυνατόν ἐστι παρελθέτω ἀπ' ἐμοῦ τὸ ποτήριον τοῦτο, ἐπεπήδησα πάλιν κοινὸν λογισάμενος εἶναι ἄνθρωπον.

[00049] Ὡς δὲ ἔοικεν, δι' ἐμὲ οὕτως ἐφθέγγετο, ἵνα με δελεάσῃ καὶ ἀπατήσας ἐμὲ τὸν ὑπ' ἐμοῦ ἀπατηθέντα λυτρώσηται ἄνθρωπον.

[00050] Οὐκ ἔγνων δὲ ὁ δείλαιος·

[00051] ἔδει με αὐτοῦ ἀκούσαντα·

[00052] Μὴ φοβήθητε ἀπὸ τῶν ἀποκτενόντων τὸ σῶμα τὴν δὲ ψυχὴν μὴ δυναμένων ἀποκτεῖναι, ἐξ αὐτῶν τῶν πραγμάτων ἐρευνᾶν τὴν ἀλήθειαν.

[00053] Ὁ γὰρ μὴ φοβεῖσθαι ἀνθρώπῳ συμβουλεύων τὸν θάνατον, πῶς αὐτὸς φόβῳ τοῦ θανάτου συνείχετο;

[00054] Ἀλλὰ θανατώσας ἐθανατώθην, σταυρώσας ἐστηλιτεύθην, ἥλους χαλκεύσας περιεπάρην, ἀκάνθας πλέξας ἐτραυματίσθην, χολὴν προσκομίσας πικρῶς ἐθανατώθην, χλανίδα ἐνδύσας συνεποδίσθην.

[00055] Ἐπεὶ οὖν τῆς τοιαύτης εὐφροσύνης ἡ ἡμέρα πεπλήρωται, αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

[00056] Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν ὁ κύριος·

[00057] αὐτὸς γὰρ ἐποίησε τὴν ἡμέραν καὶ διὰ τῆς ἀναστάσεως τῆς ἰδίας ἐφαίδρυνεν αὐτήν.

[00058] Ὁ γὰρ δημιουργὸς τῆς ἡμέρας καὶ τὸν ἀριθμὸν τῶν ἡμερῶν κατεδέξατο διὰ τῆς σαρκὸς καὶ μησὶ καὶ ὥραις καὶ ἐνιαυτοῖς δουλεῦσαι, ὃν ὁ μακάριος Ἰωάννης ὁ εὐαγγελιστὴς ἐκήρυσσε λέγων·

[00059] Ἐν ἀρχῇ ἦν ὁ λόγος καὶ ὁ λόγος ἦν πρὸς τὸν θεὸν καὶ θεὸς ἦν ὁ λόγος.

[00060] Ἰωάννη, πῶς ὕψωσάς σου τὸν νοῦν, πῶς ἐκορύφωσάς σου τὸν λογισμόν, πῶς ὑπερέβης τὴν φύσιν, πῶς ἐπάτησας τὸν οὐρανόν, πῶς παρῆλθες τάξεις

ἀγγέλων καὶ ἀρχαγγέλων καὶ αὐτὰς τὰς ἄνω δυνάμεις καὶ χοροστασίας, πῶς αὐτῷ τῷ θρόνῳ τῷ ἁγίῳ ἤγγισας, πῶς δὲ κἀκεῖνον παρέδραμες καὶ ἐθεάσω τὸν ἐν ἀρχῇ ὄντα ὄντως υἱὸν θεοῦ λόγον;

[00061] Τίς σε, Ἰωάννη, ταύτην τὴν φωνὴν ἐδίδαξεν;

[00062] Πῶς λέγειν τὰ ἄρρητα κατετόλμησας;

[00063] Πῶς τὸν υἱὸν λόγον ὠνόμασας;

[00064] Οὐδεὶς ἄλλος ταῦτα ἐφθέγξατο.

[00065] Καὶ πάντως Ἰωάννης ἐρεῖ ὅτι οὐκ εἰμὶ ἐγὼ ὁ λαλῶν, ἀλλὰ τὸ πνεῦμα τὸ ἅγιον τὸ λαλοῦν ἐν ἐμοί.

[00066] Αὐτὸ παρεσκεύασε μὴ λέγειν ἐν ἀρχῇ ὁ υἱὸς ἐγεννήθη, ἐπειδὴ φιλοπράγμονες ὑπάρχουσιν οἱ κακῶς φρονοῦντες καὶ περιεργάζονται τοὺς λόγους καὶ τρακτεύουσι τὰ ῥήματα.

[00067] Καὶ ἤμελλον ἀκούσαντες ὅτι ἐν ἀρχῇ ὁ υἱὸς ἐγεννήθη τὸν τρόπον τῆς γεννήσεως συντάττειν καὶ πῶς καὶ πότε καὶ παθητὴν ὑπολαμβάνειν τὴν γέννησιν.

[00068] Διὰ τοῦτο καὶ τὴν ἀμφιβολίαν αὐτῶν τῆς ψυχῆς ἐξορίζει καὶ τὴν παθητικὴν διασκεδάζει ὑπόνοιαν λέγων·

[00069] Ἐν ἀρχῇ ἦν ὁ λόγος.

[00070] Ὥσπερ δὲ ἐκ τοῦ νοῦ ἀπαθῶς ὁ λόγος προέρχεται καὶ οὔτε τὸν γεννήσαντα μειοῖ καὶ αὐτὸς προέρχεται τέλειος, οὕτως καὶ ὁ υἱὸς τοῦ θεοῦ τέλειος ἐξ ὅλου γεγέννηται

[00071] Επιτρέπετα

[00072] μήτε τὸν πατέρα μειώσας καὶ αὐτὸς ἔχων τὴν τελειότητα τοῦ πατρός·

[00073] αὐτῷ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

[00074] Ἀμήν.

[00075] Επιτρέπετα

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In sanctum pascha [3]**

**Litterarum Omnium Conspectus: 109 Litterae, quae repetitae sunt in 5,628 occasionibus**

---

| | | | | | |
|---|---|---|---|---|---|
| α | 0945 | 433 | Α | 0913 | 3 |
| β | 0946 | 31 | Β | 0914 | 0 |
| γ | 0947 | 94 | Γ | 0915 | 0 |
| δ | 0948 | 98 | Δ | 0916 | 0 |
| ε | 0949 | 300 | Ε | 0917 | 4 |
| ζ | 0950 | 9 | Ζ | 0918 | 0 |
| η | 0951 | 90 | Η | 0919 | 0 |
| θ | 0952 | 121 | Θ | 0920 | 0 |
| ι | 0953 | 207 | Ι | 0921 | 0 |
| κ | 0954 | 178 | Κ | 0922 | 5 |
| λ | 0955 | 145 | Λ | 0923 | 0 |
| μ | 0956 | 159 | Μ | 0924 | 1 |
| ν | 0957 | 492 | Ν | 0925 | 2 |

| | | | | | |
|---|---|---|---|---|---|
| ξ | 0958 | 29 | Ξ | 0926 | 0 |
| ο | 0959 | 351 | Ο | 0927 | 5 |
| π | 0960 | 204 | Π | 0928 | 9 |
| ρ | 0961 | 187 | Ρ | 0929 | 0 |
| ς | 0962 | 264 | • | 0930 | 0 |
| σ | 0963 | 188 | Σ | 0931 | 2 |
| τ | 0964 | 402 | Τ | 0932 | 4 |
| υ | 0965 | 94 | Υ | 0933 | 0 |
| φ | 0966 | 34 | Φ | 0934 | 0 |
| χ | 0967 | 49 | Χ | 0935 | 1 |
| ψ | 0968 | 13 | Ψ | 0936 | 0 |
| ω | 0969 | 98 | Ω | 0937 | 0 |
| ῤ | 8164 | 0 | | | 0 |
| ῥ | 8165 | 1 | Ῥ | 8172 | |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ά | 8049 | 78 | έ | 8051 | 86 | ή | 8053 | 33 | ί | 8055 | 66 | ό | 8057 | 62 | ύ | 8059 | 42 | ώ | 8061 | 22 |
| ὰ | 8048 | 41 | ὲ | 8050 | 18 | ὴ | 80852 | 51 | ὶ | 8054 | 86 | ὸ | 8056 | 67 | ὺ | 8058 | 12 | ὼ | 8060 | 2 |
| ᾶ | 8118 | 9 | | | 0 | ῆ | 8134 | 25 | ῖ | 8150 | 21 | | | 0 | ῦ | 8166 | 48 | ῶ | 8182 | 48 |
| ἀ | 7936 | 66 | ἐ | 7952 | 94 | ἠ | 7968 | 6 | ἰ | 7984 | 17 | ὀ | 8000 | 1 | ὐ | 8016 | 43 | ὠ | 8032 | 3 |
| ἁ | 7937 | 3 | ἑ | 7953 | 8 | ἡ | 7969 | 20 | ἱ | 7985 | 12 | ὁ | 8001 | 32 | ὑ | 8017 | 16 | ὡ | 8033 | 21 |
| ἂ | 7938 | 1 | ἒ | 7954 | 0 | ἢ | 7970 | 1 | ἲ | 7986 | 0 | ὂ | 8002 | 0 | ὒ | 8018 | 0 | ὢ | 8034 | 0 |
| ἃ | 7939 | 0 | ἓ | 7955 | 0 | ἣ | 7971 | 2 | ἳ | 7987 | 0 | ὃ | 8003 | 1 | ὓ | 8019 | 0 | ὣ | 8035 | 0 |
| ἄ | 7940 | 24 | ἔ | 7956 | 14 | ἤ | 7972 | 4 | ἴ | 7988 | 3 | ὄ | 8004 | 5 | ὔ | 8020 | 3 | ὤ | 8036 | 0 |
| ἅ | 7941 | 3 | ἕ | 7957 | 1 | ἥ | 7973 | 1 | ἵ | 7989 | 2 | ὅ | 8005 | 8 | ὕ | 8021 | 6 | ὥ | 8037 | 1 |
| ἆ | 7942 | 0 | | | 0 | ἦ | 7974 | 6 | ἶ | 7990 | 3 | | | 0 | ὖ | 8022 | 1 | ὦ | 8038 | 0 |
| ἇ | 7943 | 0 | | | 0 | ἧ | 7975 | 4 | ἷ | 7991 | 0 | | | 0 | ὗ | 8023 | 1 | ὧ | 8039 | 0 |
| ᾀ | 8064 | 0 | | | 0 | ᾐ | 8080 | 0 | | | 0 | | | 0 | ῧ | 8167 | 0 | ᾠ | 8096 | 0 |
| ᾁ | 8065 | 0 | | | 0 | ᾑ | 8081 | 0 | | | 0 | | | 0 | ΰ | 8163 | 0 | ᾡ | 8097 | 0 |
| ᾂ | 8066 | 0 | | | 0 | ᾒ | 8082 | 0 | | | 0 | | | 0 | | | 0 | ᾢ | 8098 | 0 |
| ᾃ | 8067 | 0 | | | 0 | ᾓ | 8083 | 0 | | | 0 | | | 0 | | | 0 | ᾣ | 8099 | 0 |
| ᾄ | 8068 | 0 | | | 0 | ᾔ | 8084 | 0 | | | 0 | | | 0 | | | 0 | ᾤ | 8100 | 0 |
| ᾅ | 8069 | 3 | | | 0 | ᾕ | 8085 | 0 | | | 0 | | | 0 | | | 0 | ᾥ | 8101 | 0 |

| | | | | | | | | | | | | | | | | | | | | |
|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|---|
| ᾆ | 8070 | 0 | | | 0 | ᾖ | 8086 | 0 | | | 0 | | | 0 | | | 0 | ᾦ | 8102 | 0 |
| ᾇ | 8071 | 0 | | | 0 | ᾗ | 8087 | 0 | | | 0 | | | 0 | | | 0 | ᾧ | 8103 | 0 |
| ᾳ | 8115 | 1 | | | 0 | ῃ | 8131 | 3 | | | 0 | | | 0 | | | 0 | ῳ | 8179 | 11 |
| ᾴ | 8116 | 0 | | | 0 | ῄ | 8132 | 0 | | | 0 | | | 0 | | | 0 | ῴ | 8180 | 0 |
| ᾷ | 8119 | 2 | | | 0 | ῇ | 8135 | 7 | | | 0 | | | 0 | | | 0 | ῷ | 8183 | 8 |

Ceterae infrequentes vel rarissimae Litterae expositae non sunt

---

**© 2006 Cooperatorum Veritatis Societas quoad hanc editionem iura omnia asservantur.**

**0345-0407 - Iohannes Chrysostomus - In sanctum pascha [3]**

**Verborum Omnium Conspectus: 610Verba, quae repetita sunt in 3,587,352 occasionibus**

---

**ἀγαθότητα** [00008]
**ἀγαλλιασώμεθα** [00055]
**ἀγγέλων** [00060]
**ἁγίοις** [00001]
**ἅγιον** [00001] [00065]
**ἁγίου** [00008]
**ἁγίῳ** [00060]
**ἀγκαλῶν** [00026]
**ἀγριότητα** [00012]
**ἀγῶνα** [00003]
**ἀγωνιῶντα** [00047]
**Ἀδὰμ** [00009]
**ᾅδης** [00011]
**ᾅδου** [00009] [00010]
**ἄθλιον** [00037]
**αἱ** [00012]
**αἰχμαλωσίαν** [00013]
**αἰῶνας** [00073]
**αἰώνων** [00073]
**ἀκάνθας** [00054]
**ἀκούετε** [00033]
**ἀκούσαντα** [00051]
**ἀκούσαντες** [00067]
**ἀλήθειαν** [00052]
**Ἀλλ** [00045]
**ἀλλὰ** [00007] [00065]
**Ἀλλὰ** [00054]
**ἀλλοιοῦται** [00004]
**ἄλλος** [00064]
**ἀμαθίαν** [00006]
**ἀμαθίας** [00004]
**ἀμετάβλητον** [00009]
**Ἀμήν** [00074]
**ἀμφιβολίαν** [00068]
**ἂν** [00003]
**ἀναλάβοι** [00003]
**ἀναστάσεως** [00057]
**ἀνάστασιν** [00019]
**ἀνεκαλέσατο** [00009]
**ἀνέστη** [00028]
**ἀνεῳγμένον** [00019]
**ἀνέῳξε** [00009]
**ἄνθρωπον** [00009] [00016] [00016] [00048] [00049]
**ἄνθρωπος** [00026] [00026] [00026] [00026] [00028] [00028] [00028] [00028] [00028] [00028] [00028] [00028] [00028]
**ἀνθρώπῳ** [00053]
**ἀνίκητον** [00019]
**ἀντέσχε** [00021]
**ἀντὶ** [00036]
**ἄνω** [00060]
**ἀξία** [00002]
**ἀξίαν** [00003] [00007]
**ἄξιον** [00006]
**ἀξιοῦται** [00006]
**ἀοράτως** [00022] [00039]
**ἀπ** [00048]
**ἀπαθῶς** [00070]
**ἀπατηθέντα** [00049]
**ἀπατήσας** [00049]
**ἀπέδωκεν** [00036]
**ἀπέθανεν** [00028]
**ἄπειρος** [00004]
**ἀπεπήδησεν** [00017]
**ἀπέσωσε** [00013]
**ἀποδέχεται** [00007]
**ἀποθανόντος** [00019]
**ἀποκτεῖναι** [00052]
**ἀποκτενόντων** [00052]
**ἀπολιμπάνεται** [00002]
**ἀπολλύμενον** [00009]
**ἀριθμὸν** [00058]
**ἄρρητα** [00062]
**ἀρχαγγέλων** [00060]
**ἀρχῇ** [00059] [00060] [00066] [00067] [00069]
**ἀρχῆς** [00004]
**ἀρχιεπισκόπου** [00001]
**ἀσπάσασθαι** [00004]
**ἀσύγγνωστός** [00006]

**αὐτὰς** [00060]
**αὐτέγερτος** [00029]
**Αὕτη** [00056]
**αὐτῇ** [00055]
**αὕτη** [00055]
**αὐτήν** [00057]
**Αὐτὸ** [00066]
**Αὐτὸς** [00014]
**αὐτὸς** [00011] [00053] [00057] [00070] [00072]
**αὐτοῦ** [00012] [00033] [00040] [00051]
**αὐτῷ** [00060] [00073]
**αὐτῶν** [00052] [00068]
**ἀφροσύνην** [00037]
**ἀχανὲς** [00004]
**ἀχώρητον** [00040]
**ἅψασθαι** [00004]

**βασανίσαι** [00044]
**βασανίσῃς** [00042]
**βασιλέα** [00010]
**βασιλείαν** [00020]
**βασιλεὺς** [00013]
**βοᾷ** [00008]
**βοῶντα** [00047]
**βοῶντος** [00045]

**γὰρ** [00003] [00005] [00006] [00008] [00010] [00015] [00016] [00017] [00053] [00057] [00058]
**γεγέννηται** [00070]
**γεννήσαντα** [00070]
**γεννήσεως** [00067]
**γέννησιν** [00067]
**γενομένην** [00019]

**Δαιμόνιον** [00033]
**δαιμόνιον** [00034]
**δαιμόνων** [00009] [00041]
**δὲ** [00004] [00006] [00016] [00017] [00019] [00049] [00050] [00052] [00060] [00070]
**δεδοικὼς** [00019]
**δείλαιος** [00019] [00050]
**δελεάσῃ** [00049]
**δεξιὰν** [00009]
**Δέομαί** [00042]
**δεσποτικῶς** [00013]
**δημιουργήματα** [00013]
**δημιουργὸς** [00058]
**δι** [00009] [00009] [00009] [00009] [00049]
**Διὰ** [00068]
**διὰ** [00007] [00018] [00037] [00037] [00038] [00041] [00057] [00058]
**διαβολικὴν** [00012]
**διασκεδάζει** [00068]
**διεφθάρη** [00015]
**δόξα** [00073]
**δουλεῦσαι** [00058]
**δουλωθέντα** [00009]
**δούλων** [00030]
**δυνάμεθα** [00007]
**δυνάμεις** [00060]
**δυνάμενος** [00014] [00015]
**δυναμένων** [00052]
**δυνάμεως** [00017]
**δύναμιν** [00019] [00022] [00040]
**δυνατόν** [00048]
**δυνατὸς** [00022] [00023]
**δυνήσεται** [00003]

**ἑαυτὴν** [00006]
**ἑαυτὸν** [00003]
**ἑαυτοῦ** [00047]
**ἐβιάζετο** [00011]
**ἐβόα** [00019]
**ἐβόων** [00031] [00041]
**ἐγεννήθη** [00066] [00067]
**ἐγκατακλείστων** [00012]
**ἐγκώμια** [00003]
**ἐγκωμίων** [00002] [00004]
**ἔγνων** [00050]
**ἐγὼ** [00065]
**ἐδαφίζομαι** [00022]
**ἔδει** [00051]
**ἐδειλίασα** [00021]
**ἐδελεάσθην** [00037]
**ἐδίδαξεν** [00061]
**ἐδίψησεν** [00026]
**ἐθανατώθην** [00054] [00054]
**ἐθανάτωσα** [00021]
**ἐθεασάμην** [00047]
**ἐθεάσαντο** [00010]
**Ἐθεάσατο** [00017]
**ἐθεάσω** [00060]
**εἰ** [00048]
**εἴ** [00039]
**εἶ** [00034]
**εἶδε** [00019]
**εἰμὶ** [00065]
**εἶναι** [00048]
**εἰπεῖν** [00003]
**εἰς** [00001] [00010] [00073]
**ἐκ** [00070]
**ἑκάστου** [00007]
**ἐκεκίνηντο** [00012]
**ἐκήρυσσε** [00058]
**ἐκηρύσσετο** [00018]
**ἐκλονεῖτο** [00011]
**ἐκλύεται** [00004]
**ἐκορύφωσάς** [00060]
**ἐκταθεῖσαν** [00009]
**ἔλαβε** [00017]
**ἔλεγον** [00031] [00041]

**ἐλευθεροῖ** [00013]
**ἐλεύθερον** [00014]
**ἐλυμήνατο** [00030]
**ἐμαστίχθη** [00028]
**ἐμὲ** [00020] [00049] [00049]
**ἐμὴν** [00020]
**ἐμοί** [00065]
**ἐμοῦ** [00048] [00049]
**ἐν** [00001] [00014] [00055] [00060] [00065] [00066] [00067]
**Ἐν** [00018] [00059] [00069]
**ἐνδεδυμένον** [00017]
**ἐνδύσας** [00054]
**ἐνεπαίχθη** [00028]
**ἐνεπήδη** [00017]
**ἐνεπτύσθη** [00028]
**ἑνὶ** [00016]
**ἐνιαυτοῖς** [00058]
**ἐνόμισε** [00018] [00019]
**ἐξ** [00004] [00052] [00070]
**ἐξέμεσε** [00016]
**ἐξορίζει** [00068]
**ἐξορισθέντα** [00009]
**ἔοικεν** [00020] [00049]
**ἑορτὴ** [00008]
**ἑορτῆς** [00002]
**ἐπ** [00026]
**Ἔπαθε** [00030]
**ἔπαινος** [00002]
**ἐπάτησας** [00060]
**Ἐπεὶ** [00055]
**ἐπειγόμεναι** [00012]
**ἐπειδὴ** [00007] [00066]
**ἐπείνασεν** [00026]
**ἐπεπήδησα** [00048]
**ἐπιβῆναι** [00004]
**ἐπιγινώσκουσα** [00006]
**ἐπιζητεῖ** [00007]
**Επιτρέπετα** [00027] [00071] [00075]
**ἐποίησε** [00057]
**ἐποίησεν** [00055] [00056]
**ἑπομένων** [00041]
**ἐποτίσθη** [00028]
**ἔπτηξαν** [00010]
**ἐρεῖ** [00065]
**ἐρευγομένη** [00006]
**ἐρευνᾶν** [00052]
**ἐσταυρώθη** [00028]
**ἐστηλιτεύθην** [00054]
**ἐστηλίτευσεν** [00006]
**ἐστὶ** [00005]
**ἐστι** [00006] [00008] [00048]
**ἐστιν** [00032] [00046]
**ἔσωσε** [00009]
**ἐτάφη** [00028]
**Ἐτέχθη** [00026]
**ἐτραυματίσθην** [00054]
**εὐαγγελιστὴς** [00058]
**Εὔας** [00009]
**εὐκαταφρόνητος** [00023]
**εὑρέθη** [00029]
**εὐσπλαγχνίαν** [00007]
**εὐτελῆ** [00004]
**εὐφρανθῶμεν** [00055]
**εὐφροσύνης** [00055]
**ἐφαίδρυνεν** [00057]
**ἔφερον** [00040]
**ἐφθέγγετο** [00049]
**ἐφθέγξατο** [00064]
**ἔχει** [00033]
**ἔχεις** [00034]
**ἐχλεύασεν** [00037]
**ἔχων** [00072]
**ἕως** [00046]

**ἡ** [00002] [00006] [00006] [00046] [00047] [00055] [00055] [00056] [00073]
**ἢ** [00005]
**Ἡ** [00008]
**ἤγγισας** [00060]
**ἠγκιστρεύθην** [00037]
**ἤκουον** [00045]
**ἠλευθέρωσεν** [00009]
**ἦλθεν** [00020]
**ἦλθες** [00044]
**ἦλθοσαν** [00021]
**ἥλους** [00054]
**ἡμᾶς** [00007] [00044]
**ἡμεῖς** [00004]
**ἤμελλον** [00067]
**ἡμέρα** [00055] [00055] [00056]
**ἡμέραν** [00057]
**ἡμέρας** [00058]
**ἡμερῶν** [00058]
**ἡμῖν** [00043]
**ἠμύνατο** [00030]
**ἡμῶν** [00001]
**ᾗν** [00055] [00056]
**ἦν** [00059] [00059] [00059] [00069]
**ἠπατήθην** [00025]
**ἠπάτησεν** [00037]
**ἧς** [00009] [00009] [00009] [00009]
**ἠτιμάσθη** [00030]

**θαλάσσης** [00004]
**θαλάττης** [00004]
**θάνατον** [00053]
**θάνατος** [00014]
**θανάτου** [00046] [00053]
**θανατώσας** [00054]
**θέαμα** [00012]
**θεασάμενος** [00021] [00041]
**θεάσασθαι** [00012]
**θεάσηται** [00004]

θεὸν [00059]
θεὸς [00007] [00028] [00029] [00059]
θεότητος [00004] [00039] [00041]
θεοῦ [00043] [00060] [00070]
θεωροῦντες [00004]
θεϊκὴν [00019]
θεϊκῆς [00008]
θρόνῳ [00060]

ἰάσατο [00009]
ἰδίας [00057]
ἱκέτευον [00012]
ἵνα [00004] [00049]
Ἰουδαῖοι [00031]
Ἰουδαίων [00018]
ἱπτάμενος [00039]
ἰσχὺν [00019]
ἰσχυρῶς [00010]
Ἰωάννη [00060] [00061]
Ἰωάννης [00058] [00065]
Ἰωάννου [00001]

καινότερον [00012]
καιροῦ [00044]
κἀκεῖνον [00060]
κακὸν [00036]
κακοῦ [00036]
κακῶς [00009] [00066]
κατ [00007]
καταγέλαστος [00023]
καταλύων [00020]
καταπλήξας [00009]
κατεδέξατο [00038] [00058]
κατέκλεισε [00018]
κατέπιε [00015]
Κατέπιεν [00016]
κατετόλμησας [00062]
κατέχειν [00014]
κατήπειγε [00011]
κατησχύνετο [00014]
κατοιχομένους [00011]
καυχώμενος [00022]
κινήσει [00003]
κοινὸν [00048]
κόσμον [00009]
κραταιὸς [00022]
Κρεῖσσον [00005]
κύριος [00055] [00056]
Κωνσταντινουπόλεως [00001]

λαλοῦν [00065]
λαλῶν [00065]
λέγειν [00062] [00066]
λέγωμεν [00007]
λέγων [00058] [00068]
λογισάμενος [00048]
λογισμόν [00060]
λόγον [00060] [00063]
λόγος [00001] [00003] [00059] [00059] [00059] [00069] [00070]
λόγους [00066]
λυτρώσηται [00049]

μαζοῖς [00026]
μαίνεται [00033]
μακάριος [00058]
με [00021] [00037] [00042] [00049] [00051]
μέγα [00004]
μέγεθος [00039]
μειοῖ [00070]
μειώσας [00072]
μὲν [00006]
μησὶ [00058]
μήτε [00072]
μικρὰ [00004]
μοι [00021] [00041]
μόνη [00002]
μόνην [00004]
μονογενὴς [00009]
μου [00037] [00046] [00047]
μοχλοὺς [00009]
μυριάδες [00012]

νεκροῖς [00014]
νεκροῦται [00004]
νεκρωθέντος [00019]
νενικηκέναι [00018]
Νικᾷ [00002]
νοητὴν [00008]
νοούμενος [00023]
νοῦ [00070]
νοῦν [00060]
Νῦν [00022]
νῦν [00047]
νῶτα [00004]

ξύλου [00009]

ὁ [00003] [00004] [00007] [00009] [00011] [00013] [00014] [00019] [00020] [00022] [00022] [00022] [00022] [00023] [00023] [00032] [00050] [00055] [00056] [00058] [00058] [00059] [00059] [00059] [00065] [00066] [00067] [00069] [00070] [00070]
Ὁ [00053] [00058]
ὅθεν [00041]
Ὅθεν [00013]
οἱ [00066]

**οἰκεῖα** [00013]
**οἰκείαν** [00006]
**οἰκεῖον** [00019]
**οἰκτιρμῶν** [00007]
**Οἴμοι** [00020] [00024]
**ὅλον** [00003]
**ὅλου** [00070]
**ὁμοφώνως** [00012]
**Ὅμως** [00007]
**ὃν** [00058]
**ὄντα** [00060]
**ὄντως** [00060]
**ὀξέσι** [00039]
**ὄξος** [00028]
**ὁρώμενος** [00023]
**ὅσα** [00007]
**ὅσον** [00003]
**ὅταν** [00004]
**ὅτι** [00065] [00067]
**οὐ** [00007] [00022]
**Οὐδεὶς** [00064]
**οὐδεὶς** [00021]
**οὐδὲν** [00003] [00006]
**οὐδένα** [00021] [00030] [00030]
**οὐδενὶ** [00036]
**Οὐκ** [00050]
**οὐκ** [00040] [00065]
**οὖν** [00055]
**οὐρανόν** [00060]
**οὔτε** [00004] [00070]
**οὗτός** [00032]
**οὕτως** [00004] [00049] [00070]
**Οὐχ** [00032]
**οὐχ** [00016] [00022] [00028]
**ὄψιν** [00004]
**ὄψις** [00002]

**παθήμασι** [00040]
**παθητὴν** [00067]
**παθητικὴν** [00068]
**πάλιν** [00032] [00033] [00042] [00048]
**Πάντα** [00038]
**πάντας** [00016]
**πάντως** [00065]
**παρὰ** [00023] [00030] [00030]
**παραβάσεως** [00009]
**παραγενόμενον** [00010]
**παραλέλυμαι** [00022]
**παρέδραμες** [00060]
**παρελθέτω** [00048]
**παρελύετο** [00019]
**παρεσκεύασε** [00066]
**παρῆλθες** [00060]
**παρόντος** [00022]
**πᾶς** [00002]
**Πᾶσαι** [00012]
**πᾶσαν** [00002] [00013]
**πᾶσι** [00023]
**πάσχα** [00001]
**Πάτερ** [00048]
**πατέρα** [00047] [00072]
**πατήσας** [00009]
**πατρὸς** [00001] [00008]
**πατρός** [00072]
**πεῖραν** [00017]
**πέλαγος** [00004] [00004]
**πέλω** [00023]
**πεπλήρωται** [00055]
**περὶ** [00007]
**περιεπάρην** [00054]
**περιεργάζονται** [00066]
**περιηνέχθη** [00026]
**Περίλυπός** [00046]
**πέψαι** [00015]
**πικρῶς** [00054]
**πλείστῳ** [00004]
**πλέξας** [00054]
**πλῆθος** [00007]
**πλοκὴν** [00002]
**πνεῦμα** [00065]
**πνεύματος** [00008]
**ποιήσω** [00024]
**πολλὰ** [00030]
**πολλάκις** [00040] [00041]
**Πολλοὶ** [00021]
**πολλοὺς** [00015] [00021]
**πολλῶν** [00030]
**πονηρῶν** [00041]
**πορθῶν** [00020]
**ποσὶν** [00039]
**πότε** [00067]
**ποτε** [00039]
**ποτήριον** [00048]
**πραγματεία** [00006]
**πραγμάτων** [00052]
**πρεσβεύουσαι** [00012]
**πρὸ** [00004] [00044]
**προβαλλόμεναι** [00012]
**προέρχεται** [00070] [00070]
**πρόθεσιν** [00007]
**προκειμένου** [00006]
**προπετὴς** [00006]
**πρὸς** [00003] [00003] [00004] [00047] [00059]
**πρός** [00021]
**προσέπιπτον** [00012]
**προσκομίσας** [00054]
**προσπίπτουσαι** [00012]
**προσώπῳ** [00004]
**πύλας** [00009]
**πυλωροὺς** [00009]
**Πῶς** [00025] [00029] [00062] [00063]
**πῶς** [00053] [00060] [00060] [00060] [00060] [00060] [00060] [00060] [00067]

**ῥήματα** [00066]

**Σαμαρείτης** [00034]
**σαρκὸς** [00058]
**σε** [00061]
**σεν** [00017]
**σιωπὴ** [00006]
**σιωπῶντα** [00005]
**σοί** [00043]
**σου** [00042] [00060] [00060]
**σπουδῆς** [00011]
**σταυρώσας** [00054]
**σὺ** [00034]
**συγγνώμης** [00006]
**συμβουλεύων** [00053]
**συμφώνως** [00012]
**συνείχετο** [00053]
**συνεξέμεσεν** [00016]
**συνεποδίσθην** [00054]
**Συνεσκίαζε** [00040]
**συνέχομαι** [00022]
**συντάττειν** [00067]
**συντρίψας** [00009]
**σῶμα** [00017] [00052]
**σώματος** [00019] [00038]
**σωτῆρα** [00015]

**τὰ** [00003] [00013] [00041] [00062] [00066]
**τάξεις** [00060]
**τὰς** [00009] [00060]
**Ταῦτά** [00037]
**ταῦτά** [00037]
**ταῦτα** [00064]
**ταύτην** [00061]
**τάφον** [00019]
**τάφῳ** [00018]
**τεκμήρια** [00041]
**τεκμήριον** [00008]
**τέκτονος** [00032]
**τέλειος** [00070] [00070]
**τελειότητα** [00072]
**τέλος** [00019]
**τεταπείνωμαι** [00022]
**τετάρακται** [00047]
**τῇ** [00002]
**τὴν** [00004] [00006] [00007] [00007] [00008] [00009] [00010] [00012] [00013] [00017] [00019] [00019] [00019] [00020] [00022] [00037] [00040] [00052] [00052] [00057] [00060] [00061] [00067] [00068] [00068] [00072]
**τῆς** [00002] [00004] [00004] [00008] [00009] [00017] [00039] [00041] [00055] [00057] [00057] [00058] [00058] [00067] [00068]
**Τί** [00043]
**τί** [00024] [00033]
**τιμᾶν** [00005]
**Τίς** [00061]
**τὸ** [00001] [00004] [00019] [00048] [00052] [00065] [00065] [00065]
**τοιαύτης** [00055]
**τολμῶμεν** [00004]
**τὸν** [00009] [00009] [00009] [00010] [00014] [00015] [00019] [00037] [00047] [00049] [00053] [00058] [00059] [00060] [00060] [00060] [00060] [00063] [00067] [00070] [00072]
**Τοῦ** [00001]
**τοῦ** [00001] [00006] [00009] [00009] [00010] [00019] [00019] [00022] [00032] [00038] [00043] [00053] [00070] [00070] [00072]
**τοὺς** [00009] [00011] [00015] [00066] [00073]
**τοῦτο** [00048] [00068]
**τοῦτον** [00018]
**τούτων** [00030] [00030] [00037] [00037]
**τρακτεύουσι** [00066]
**τρόμῳ** [00011]
**τρόπον** [00067]
**τῷ** [00004] [00004] [00011] [00016] [00060] [00060]
**τῶν** [00004] [00012] [00030] [00041] [00052] [00052] [00058] [00073]

**ὑβρίζειν** [00005]
**υἱὲ** [00043]
**υἱὸν** [00060] [00063]
**υἱὸς** [00066] [00067] [00070]
**υἱός** [00032]
**υἱοῦ** [00008]
**ὑπ** [00049]
**ὑπάρχουσιν** [00066]
**ὑπάρχω** [00023]
**ὑπάρχων** [00004]
**ὑπεβλήθη** [00026]
**ὑπέδειξε** [00039]
**ὑπερέβης** [00060]
**ὑπέστρεφον** [00039]
**ὑπολαμβάνειν** [00067]
**ὑπομεῖναι** [00038]
**ὑπόνοιαν** [00068]
**ὑφίσταμαι** [00022]
**ὑψηλὸς** [00022]
**ὑψοῦτο** [00018]
**ὕψωσάς** [00060]

**φέρω** [00022]
**φθεγγόμενον** [00005]
**φθεγξώμεθα** [00004]
**φιλανθρωπίας** [00008]
**φιλοπράγμονες** [00066]
**φοβεῖσθαι** [00053]
**φοβερὸς** [00023]
**φοβήθητε** [00052]
**φόβῳ** [00004] [00053]
**φρίξας** [00017]
**φρονοῦντες** [00066]
**φρουρὰν** [00010]
**φύσιν** [00060]
**φωνὴν** [00061]

**χαλκεύσας** [00054]
**χλανίδα** [00054]

**χολὴν** [00054]
**χοροστασίας** [00060]
**Χρυσοστόμου** [00001]

**ψυχή** [00046] [00047]
**ψυχὴν** [00052]
**ψυχῆς** [00068]

**ὠμότητα** [00009] [00012]
**ὠνόμασας** [00063]
**ὥραις** [00058]
**ὡς** [00016] [00016] [00019] [00019] [00020] [00026] [00026] [00026] [00026] [00026] [00028] [00028] [00028] [00028] [00028] [00028] [00028] [00028] [00028] [00045] [00047]
**Ὡς** [00010] [00049]
**Ὥσπερ** [00004] [00070]